καθάπερ καὶ τὰ ἄλλα τὰ φύσει ὑπάρχοντα. A ὕστερον δὲ τῆς τῶν χειρῶν δυνάμεως, ὁ νοῦς παραγίνεται ἡμῖν, ὅτι καὶ τὰ τοῦ νοῦ ὄργανά ἐστι τῶν τῆς χειρός. ἔστι γὰρ νοῦ μὲν ὄργανον, ἐπιστήμη· (τούτῳ γάρ ἐστι χρήσιμος, καθάπερ αὐλοὶ αὐλητῇ) χειρῶν δὲ, πολλὰ τῶν φύσει ὄντων· ἡ δὲ φύσις, αὐτή τε ἐπιστήμης πρότερον, καὶ τὰ ὑπ' αὐτῆς γινόμενα· ὧν δὲ [τὰ] ὄργανα πρότερα, καὶ τὰς δυνάμεις πρότερον εἰκὸς B ἐγγίνεσθαι ἡμῖν. τούτοις γὰρ χρώμενοι, ἕξιν λαμβάνομεν, καὶ ἔχει ὁμοίως τὸ ἑκάστου ὄργανον πρὸς αὐτό· καὶ ἀνάπαλιν, ὡς τὰ ὄργανα πρὸς ἄλληλα, οὕτω τὰ ὄργανα πρὸς αὐτά. ὁ μὲν οὖν νοῦς διὰ ταύτην τὴν αἰτίαν, πρεσβυτέροις οὖσιν [ἡμῖν] μᾶλλον ἐγγίνεται. μανθάνομεν δὲ θᾶττον νεώτεροι ὄντες, διὰ τὸ μηδέν πως ἐπίστασθαι. ὅταν δὲ ἐπιστώμεθα, οὐκ ἔτι ὁμοίως δυνάμεθα. δυνάμεθα δὲ δέχεσθαι, καθάπερ καὶ μνημονεύομεν μᾶλλον, οἷ C ἂν ἕωθεν πρῶτον ἐντυγχάνωμεν. ἔπειτα προϊούσης τῆς ἡμέρας, οὐκ ἔτι ὁμοίως, διὰ τὸ πολλοῖς ἐντετυχηκέναι.

ϛ Διὰ τί ἀνθρώπῳ πιστέον μᾶλλον, ἢ ἄλλῳ ζώῳ; πότερον ὥσπερ Πλάτων Νεοκλεῖ ἀπεκρίνατο, ὅτι ἀριθμεῖν μόνον ἐπίσταται τῶν ἄλλων [ζώων;] ἢ ὅτι θεοὺς νομίζει μόνος; ἢ ὅτι μιμητικώτατον; μανθάνειν γὰρ δύναται διὰ τοῦτο. D

ζ Διὰ τί οὐ χαίρομεν θεώμενοι οὐδὲ ἐλπίζοντες ὅτι τὸ τρίγωνον δύο ὀρθαῖς ἴσας ἔχει τὰς ἐν τῇ γωνίᾳ, οὐδὲ τῶν ἄλλων τῶν τοιούτων οὐθὲν, εἰ μὴ τῇ θεωρίᾳ; αὕτη δὲ ὁμοίως ἐστὶν ἡδεῖα, κἂν εἰ τρισὶν ὀρθαῖς, ἢ πλείοσιν ἴσας εἶχεν. ἀλλ' ὅτι Ὀλύμπια ἐνικῶμεν, καὶ περὶ τῆς ναυμαχίας E τῆς ἐν Σαλαμῖνι, χαίρομεν, καὶ μεμνημένοι καὶ ἐλπίζοντες τοιαῦτα· ἀλλὰ μὴ τἀναντία τοῖς τοιούτοις. ἢ ὅτι ἐπὶ μὲν τοῖς τοιούτοις χαίρομεν, ὡς γινομένοις ἢ οὖσιν· ἐπὶ δὲ τοῖς κατὰ φύσιν ὡς κατ' ἀλήθειαν θεωρίας ἡδονὴν, ὡς ἔχει, μόνην ἡμῖν ποιεῖν· τὰς δὲ πράξεις, τὴν ἀπὸ τῶν συμβαινόντων ἀπ' αὐτῶν. [ἀνομοίων οὖν οὐσῶν τῶν πράξεων, καὶ F τὰ ἀποβαίνοντα ἀπ' αὐτῶν] γίνεται τὰ μὲν, λυπηρά· τὰ δὲ, ἡδέα· φεύγομεν δὲ καὶ διώκομεν καθ' ἡδονὴν καὶ λύπην ἅπαντα. η Διὰ τί μέχρι ὑγιείας πραγματεύονται οἱ ἰατροί;

A quemadmodum cætera quoque opera naturæ. Mens verò poſterior, quam manuum facultas, accedit: quoniam inſtrumenta etiam mentis poſteriora ſunt quàm manuum inſtrumenta: eſt enim mẽtis inſtrumentum ſcientia. Menti nanq. vtilis ſcientia eſt, vt tibicini tibia. Manuum inſtrumẽta, res pleræque naturales ſunt: Natura autem ipſa, eiúſque res omnes priora ſunt, quàm ſcientia. Quorum autem inſtrumenta B priora ſunt, facultates quoque eorundem prius contingere congruum eſt. His enim crebrò vtentes, conficere habitum ſolemus. Et iſta ſic reciprocantur, vt quam vicem hęc inter ſe gerunt, quorum inſtrumenta ſunt, eandem inſtrumenta quoque ipſa inter ſe habeant: viciſſimq. quam inſtrumenta inter ſe, eandem illa, quorum ſunt inſtrumenta. Mens igitur ea de cauſa nobis ſenioribus potius cõtingit: diſcimus autem ocyus iuniores, quia rem fermè nul C lam tenemus. Cùm enim res pleraſque ſcimus, non æquè præterea capere alias poſſumus. Quomodo etiam meminiſſe melius ea valemus, quæ manè primum percipimus: deinde procedente die, memoria hebetamur, quoniam multa iam perreptauimus. 6 Cur homini potius quàm cuiquam ex cæteris animantibus, credendum eſt? Vtrum vt Plato Neocli reſpondit, quia D homo ſolus omnium animantium nouit enumerare. An quia ſolus deos veneratur & colit. An quia omnium maximè vim obtinet imitandi: hic enim diſcere tam multa, & varia poteſt. 6 Cur nihil in eo delectamur, quòd triangulum duobus rectis pares angulos internos vel habere ſpectamus, vel habiturum ſperamus: neq. in aliquo generis eiuſdem, niſi fortè in ſpeculatione ipſa delectandũ ſit? hęc tamẽ E æquo modo iucunda ſanè ſit, etiam 1 tribus rectis, aut etiã pluribus pares angulos habeat: ſed nimirũ tunc delectari eſt, cùm aut ludis Olympiæ nos viciſſe meminimus, aut apud Salamina, nauali pugna hoſtes ſuperaſſe: aut tale quid futurum ſperamus, non cùm his ipſis contraria ſpectamus. An in rebus iſtiuſmodi delectemur, quòd vel fuerunt, vel ſunt conſilio noſtro, aut omnino humano, & opera. F Quæ autem Natura lege incommutabili ita eſſe voluerat, hæc ſuæ tantummodo rationis contemplatu nos alliciunt, & oblectant: ſed cùm rerum geſtarum perquam aduerſa ratio ſit, efficitur porrò vt quæ inde profecta ſint, in parte lætabilia, in parte triſtia veniant. Omnia autem lætitiæ triſtitiæve ratione, aut vitamus, aut perſequimur. 8 Cur medicus ad ſanitatem vſque tantummodo ſuam operam præſtat?